ἐκκλησίας, γράφων ὅτι διὰ μεγάλης ἐρεύνης καὶ πολλῆς ἐξετάσεως τῶν θείων Γραφῶν, καὶ τῶν συγγραμμάτων τῶν θεοφόρων πατέρων κατενόησε καὶ διέγνω, ὡς ἡ διδασκαλία τῆς νῦν δυτικῆς ἐκκλησίας περὶ ἐκπορεύσεως τοῦ παναγίου πνεύματος, οὐ μόνον ἐστὶν ἀσύμφωνος ἀλλὰ καὶ ἐναντία ἐκ διαμέτρου τῷ ὀρθῷ δόγματι καὶ τῇ θεοπαραδότῳ διδασκαλίᾳ καὶ ἑρμηνείᾳ τῶν Γραφῶν· ἐπηπόρει δὲ περί τινων ἄλλων καὶ ἐζήτει τὰς λύσεις, πρὸς ἃ ἐπιλυσάμενος ἀπεκρίνατο ὁ πολὺς Εὐγένιος.

Κατ' αὐτὸ δὴ τὸ ἔτος τῆς ἑορτῆς τοῦ πρωτοκλήτου τῶν ἀποστόλων ἁγίου Ἀνδρέου κυκλουμένης, καὶ ἀργείας ἐνδιατάκτου καὶ κανονικῆς κηρυττομένης, ἔδοξε τῷ παναγιωτάτῳ κυρίῳ Σεραφεὶμ καὶ τῇ περὶ αὐτὸν ἱερᾷ συνόδῳ λαμπροτέραν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐν τῷ ἰδίῳ κλήρῳ ποιῆσαι τὴν ἑορτὴν τοῦ Ἀποστόλου, καὶ συνῆλθον ἐν τῇ πανηγύρει ἅπαντες οἵ τε ἀρχιερεῖς καὶ ἄρχοντες, προητοίμασε δὲ πανηγυρικὸν καὶ ὁ μέγας Εὐγένιος. Πολλοὶ ἐκ τῶν περὶ τὰς Συκὰς τόπων ἵνα καὶ τὴν παρρησίαν τοῦ πατριάρχου ἴδωσι, καὶ τὴν ὁμιλίαν τοῦ διδασκάλου ἀκούσωσι συνεισῆλθον ἑτοίμως, ἐν οἷς μετὰ τῶν περὶ αὐτὸν ἐντίμων συνῆλθε καὶ Ἀβρεσκόφφιος ἁρμοστὴς τῆς εὐσεβοῦς αὐτοκρατορίας τῶν Ῥώσσων ἐν κοινῷ σχήματι· ἐγένετο οὖν φαιδροτάτη ἡ πανήγυρις καὶ ἀγαστὴ ἦν τοῖς τε ἐνθέως ἀπετελουμένοις καὶ ὁρωμένοις καὶ ἀκουομένοις ἅπασιν· ὥστε ἀπελύοντο ἅπαντες χαίροντες. Συμπανηγυρίσας δὲ εὐσεβῶς καὶ τῆς πνευματικῆς χαρᾶς καὶ χάριτος συμμετασχὼν ὁμοπίστως ὁ ὀρθόδοξος ἁρμοστὴς τῶν Ῥώσσων ἐπανῆλθε, μήτε ἰδίᾳ μήτε κοινῇ ἐντυχὼν τῷ παναγιωτάτῳ, μήτε τῷ εὐσεβεῖ πληρώματι τῆς ἐκκλησίας γνωρισθεὶς ὁποῖος ἦν, τῶν δυσμενῶν τὰς ὑπονοίας περιαιρῶν καὶ συνετῶς πάντοθεν φυλαττόμενος τὰς κατὰ τῶν ὁμοπίστων διαβολάς· ἀλλά τις τῶν ἀρχόντων, (ἦν δὲ οὗτος Γεώργιος ὁ τοῦ Σταυράκη, πρωτοσπαθάριος) δυσμενὴς ὢν τῷ παναγιωτάτῳ κυρίῳ Σεραφεὶμ ἐπὶ τῇ τόλμῃ αὐτοῦ καὶ ἀγχι-